| | |
|---|---|
| †λίσσων† χρυσοπλόκαμε | [ ] |
| θεὰ Μᾶτερ ἱκνοῦμαι | pherecr. |
| ἐμὸν ἐμὸν αἰῶνα δυσέκφευκτον, ἐπεί | 3 cho. |
| μ' αὐτίκα λαιμοτόμωι τις ἀποίσεται | 4 dact. |
| ἐνθάδε μήστορι σιδάρωι, | cho. tro.? |
| ἢ κατακυμοτακεῖς ναυσιφθόροι | 4 dact. |
| αὖραι νυκτιπαγεῖ βορέαι δια- | „ |
| ραίσονται· περὶ γὰρ κλύδων | glyc. |
| ἄγριος ἀνέρρηξεν ἅπαγ | ia. cho. |
| γυίων εἶδος ὑφαντόν· | pherecr. |
| ἔνθα κείσομαι οἰκτρὸς ὀρ- | glyc. |
| νίθων ἔθνεσιν ὠμοβρῶσι θοινά. | glyc. ba. |
| τοιάδ' ὀδυρόμενοι κατεδάκρυον· | 4 dact. |
| ἐπεὶ δέ τις λαβὼν ἄγοι | 2 ia. |
| πολυβότων Κελαινᾶν | cr. ba. |
| οἰκήτορ' ὀρφανὸν μαχᾶν | 2 ia. |
| σιδαρόκωπος Ἕλλαν, | ia. ba. |
| ἄγει κόμης ἐπισπάσας, | 2 ia. |
| ὁ δ' ἀμφὶ γόνασι περιπλεκεὶς | „ |
| ἐλίσσετ', Ἑλλάδ' ἐμπλέκων | „ |
| Ἀσιάδι φωνᾶι διάτορον | „ |
| σφραγῖδα θραύων στόματος, | ia. cho. |
| Ἰάονα γλῶσσαν ἐξιχνεύων· | ia. cr. ba. |